Βαβαί.) ὁ τῶν γερόντων χορὸς ταῦτα λέγει. διὸ καὶ αὐτοῦ τὸ πρόσωπον παραγγραπτέον, ὅπερ ἐν τοῖς παλαιοῖς ἀντιγράφοις παραλέλειπται. νενεύρωται δὲ, μεταφορικῶς, παρὰ τὸ νευροῦν, ὅ ἐστιν ἐμπεδοῦν, βεβαιοῦν, καὶ ἰσχυρὸν ποιεῖν, καὶ οἱονεὶ νεύροις στερεοῦν. τεθερμῶσθαι δὲ, παρῆκται παρὰ τὸ θερμὸν, ὅθεν τὸ θερμοῦν καὶ τὸ θερμαίνειν ἰσοδυναμοῦντα. Αφατα.] ἄρρητα. ἐντεῦθεν δὲ, τὸ τῶν Λακώνων πρόσωπον παραγγραπτέον, ὅπερ ἐν τοῖς παλαιοῖς ἀντιγράφοις οὐκ ἐνῆν. ἀλλὰ τοῦτο δῆλον. ὅπᾳ δὲ, ὅπῃ. καὶ παντᾷ ἀντὶ τοῦ παντῃ. καὶ σέτω, ἀντὶ τοῦ θέτω. ἅπερ πάντα Δωρικῶς εἴρηται. Τοὺς αὐτόχθονας.] τοὺς Ἀθηναίους, οἳ αὐτόχθονες εἶναι ἐκαυχῶντο. τούτους ὁ Εὐριπίδης περὶ ἑαυτῶν οὕτω λαλοῦντας εἰσάγει,

Λαὸς οὐκ ἐπακτὸς ἄλλοθεν αὐτόχθονες ἔφυμεν.

αὐτόχθονες δὲ, ὡς Σουίδας φησὶν ἐκαλοῦντο, ἢ ἐπεὶ τὴν χθόνα, τουτέστι τὴν γῆν ἀργὴν οὖσαν, πρῶτοι εἰργάσαντο, ἢ διὰ τὸ μὴ εἶναι αὐτοὺς ἐπήλυδας. καὶ αὐτόχθονες κατὰ τὸν Ἡσύχιον, οἱ ἐν ἰδίᾳ γῇ, ἢ τόπῳ οἰκοῦντες. καὶ αὐτόχθων, ἐντόπιος ἐγχώριος, πολίτης γνήσιος. ἀσκητικὸν δὲ ὁ Σουίδας, τούτου τοῦ Ἀριστοφανείου μνημονεύων, ἑρμηνεύει, μέγα. Τίς ἂν φράσειε] ἀτελὴς ἐστὶν ὁ τῶν Ἀθηναίων λόγος, τοῦτον γὰρ ὁ τῶν γερόντων χορὸς ἀπροόπτως διακόπτει. οὗτοι δὲ, καὶ τοιοῦτοι Ἀττικὸν σχῆμα, ἀντὶ τοῦ οὗτοι, καὶ τοιοῦτοι. ταῦτα δὲ, ὡς καυχώμενοι λέγουσι.

CHR. Ἕλκοντες ὑπήνας] Quidam codices habent ἀπήνας vt de curribus non barba intelligat: sed ὑπήνας rectum puto, nam syrma barbę dicitur, vt in Philosophis Hegesander dixit σακκογενειοτρόφους. Χωροῦσιν ὥσπερ.] Lego propter metrum χωροῦσ' ὥσπερ, & μηροῖσιν ἔχοντες vt in Veneta edit. & apud Sudam qui ait ἦλθον γὰρ ἐγκεκολπωμένα τὰ ἱμάτια ἔχοντες, est autem hic χοιροκομεῖον, πάσσαλος, non vt in Vespis ἀγγεῖον κανωτὸν vel πλεκτόν. τί δή ποθ' ὔμμε.] Legerem τί δεῖ quid necesse est vos, &c. deinde ὁρῆν γὰρ ἔξεσθ', id est, videre licet quo in statu simus. Βαβαί, νενεύρωται.] Hic apponi debet persona Chori senilis, vt in illo ἄφατα, Laconum. Est autem νενεύρωται, ἐνισχύρωται. mox legendum ἄμμιν non ἀμῖν, breuis enim vltima, & σέτω pro θέτω, Puto etiam τεθερμῶσθαι esse θερμανθῆναι qua ratione θερμασίαν, θερμωλὴν vocat ferè semper Hippocrates. Ἀσκητικὸν τὸ σχῆμα] Nam ἀθλητὴς & ἀσκητὴς olim idem erant. Et sic vsus est Hippocrates, vt notat Erotianus.

Χο. γε. Χ' αὐτη ξυνᾴδει χατέρα ταύτῃ νόσῳ.
Ἤπου πρὸς ὄρθρον σπασμὸς ὑμᾶς λαμβάνει;
Ἀθην. Μὰ Δί' ἀλλὰ ταυτὶ δρῶντες ἐπιτετρίμμεθα.
Ὥστ' εἴ τις ἡμᾶς μὴ διαλλάξει ταχὺ
Οὐκ ἔσθ' ὅπως οὐ Κλεισθένη βινήσομεν.
Χο. γε. Εἰ σωφρονεῖτε θοἰμάτια λήψεσθ' ὅπως
Τῶν Ἑρμοκοπιδῶν μή τις ὑμᾶς ὄψεται.
Ἀθην. Νὴ τὸν Δί' εὖ μέντοι λέγεις. Λα. ναὶ τὼ σιώ
Παντᾶ γε. φέρε τὸ ἔσθος ἐμβαλώμεθα.
Ἀθην. Ὦ χαίρετ' ὦ Λάκωνες. αἰσχρά γ' ἐπάθομεν.
Λα. Ὦ Πολυχαρίδα. δεινά γ' αὖ πεπόνθαμες.
Αἴκ' εἴδον ἁμὲς ὤνδρες ἀναπεφασμένως.
Ἀθ. Ἄγε δὴ Λάκωνες αὔθ' ἕκαστα χρὴ λέγειν.
Ἐπὶ τί πάρεστε δεῦρο. Λα. περὶ διαλλαγᾶν
Πρέσβεις. Ἀθην. καλῶς δὴ λέγετε. χ' ἡμεῖς τουτογί.
Τί οὐ καλοῦμεν δῆτα τὴν Λυσιστράτην.
Ἥπερ διαλλάξειεν ἡμᾶς ἂν μόνη.

*CH.S. Et ista morbo & altera isti concinit:*
*Estisne capti manè vos tentigine?*
*ATHEN. Minimè, sed ista, dum facimus, absumimur.*
*Quin si ista nemo bella componat statim*
*Nobis necesse est Clisthenem perdepsere.*
*CH.S. Si sapere vultis, induetis pallia,*
*Ne, signa qui truncare amant, vos viderint.*
*ATH. Benè per Iouem inquis.* LA. *Per gemellos cælites*
*Rectè mones, amictus inducendus est.*
*ATH. Lacones ô saluete, turpia patimur.*
LA. *O Polycharida, quàm graue anclamus malum,*
*Mutoniatos si viri nos viderint!*
*ATH. Agedum, Lacones, sciscitemur singula,*
*Quare huc adestis?* LAC. *Pacis ergo & fœderum*
*Legati. ATH. Honestus sermo, id ipsum quarimus.*
*Quid ni vocamus ocyus Lysistratam*
*Quæ sola fœdus hoc ferire possiet?*

BISETVS. Ξυνᾴδει] συμφωνεῖ. χἀτέρα, καὶ ἑτέρα. Κλεισθένη] Κλεισθένη λέγει, ὅτι ὡς κίναιδος ἐκωμῳδεῖτο. Τῶν Ἑρμοκοπιδῶν] Ἑρμαῖ ἦσαν ἐν τῇ Ἀθηναίων πόλει λίθινοι ἐν προθύροις, καὶ ἱεροῖς, ἐπειδή φασι τὸν Ἑρμῆν λόγου, καὶ ἀληθείας ἔφορον εἶναι διὰ τοῦτο καὶ τὰς εἰκόνας αὐτοῦ τετραγώνους, καὶ κυβοειδεῖς κατεσκεύαζον. αἰνιττόμενοι τὸ τοιοῦτον σχῆμα ἐφ' ὃ μέρη πέσῃ πανταχόθεν βάσιμον, καὶ ὄρθιον εἶναι. οὕτω καὶ ὁ λόγος, καὶ ἡ ἀλήθεια ὁμοία ἐστὶ πανταχόθεν αὐτὴ ἑαυτῇ. τὸ δὲ ψεῦδος πολύχουν, καὶ πολυσχιδὲς, καὶ ἑαυτῷ μάλιστα ἀσύμφωνον. Σ. καὶ Θουκυδίδης ἐν τῷ ἕκτῳ τῆς ἑαυτοῦ ξυγγραφῆς περὶ τούτων ταῦτα παραδέδωκεν, Ἐν δὲ τούτῳ ὅσοι Ἑρμαῖ ἦσαν λίθινοι ἐν τῇ πόλει τῇ Ἀθηναίων (εἰσὶ δὲ κατὰ τὸ ἐπιχώριον, ἡ τετράγωνος ἐργασία πολλοί, καὶ ἐν ἰδίοις προθύροις, καὶ ἱεροῖς) μιᾷ νυκτὶ οἱ πλεῖστοι περιεκόπησαν τὰ πρόσωπα. Ἑρμοκοπίδαι οὖν ἐκαλοῦντο, οἱ τοιούτους Ἑρμᾶς περικόψαντες. Οὕτως τοίνυν ἐνταῦθα νοητέον. Ὁ τῶν γερόντων χορὸς, τοὺς πρέσβεις ἐστυκότας, καὶ τὰ αἰδοῖα ἀποσκευωκότας ὁρῶν, πρὸς τὸ τῶν Ἑρμοκοπιδῶν ἔργον παίζων, εἰ σωφρονεῖτε φησί, θοἰμάτια λήψεσθε, μήπως Ἑρμοκοπιδῶν τις ἰδὼν ὑμᾶς ἀκρωτηριάζῃ, καὶ ὥσπερ ἐκεῖνοι τοὺς Ἑρμᾶς περιέκοψαν, οὕτω καὶ ὑμᾶς ἐκτέμνωσι, καὶ εὐνουχίζωσι. Παντᾶ γε.) καὶ ἐνταῦθα τὸ παντᾶ, ἀντὶ τοῦ πάντως, παντελῶς. ὁ γὰρ Λάκων λακωνίζει. τὸ ἔσθος, ἤγουν ἐσθῆτα. ἐμβαλώμεθα, ἐνδυσώμεθα. Ὦ πολυχαρίδα.) ὦ πολυχαρίδη, ὄνομα κύριον ἀνδρὸς εἶναι φαίνεται. τινὲς δὲ, ὃ καὶ πιθανώτερον, νομίζουσιν εἶναι τῆς Λακωνικῆς διαλέκτου φωνὴν θω-